# Emplois de κύριος dans *La Didachè*.

*Ces emplois indiquent que le Didaschaliste distingue le Seigneur Jéhovah du Seigneur Jésus. Quand κύριος désigne Dieu, il n'a généralement pas d'article. Quand le terme désigne Jésus, il est précédé de l'article.*

## 1:1 [titre]

[Διδαχὴ **κυρίου** διὰ τῶν δώδεκα ἀποστόλων τοῖς ἔθνεσιν.] Ὁδοὶ δύο εἰσί μία τῆς ζωῆς καὶ μία τοῦ θανάτου διαφορὰ δὲ πολλὴ μεταξὺ τῶν δύο ὁδῶν.

## 4:1, 11, 12, 13

Τέκνον μου τοῦ λαλοῦντός σοι τὸν λόγον τοῦ θεοῦ μνησθήσῃ νυκτὸς καὶ ἡμέρας τιμήσεις δὲ αὐτὸν ὡς **κύριον**· ὅθεν γὰρ ἡ κυριότης λαλεῖται ἐκεῖ **κύριός** ἐστιν.

ὑμεῖς δὲ οἱ δοῦλοι ὑποταγήσεσθε τοῖς κυρίοις ὑμῶν ὡς τύπῳ θεοῦ ἐν αἰσχύνῃ καὶ φόβῳ.

Μισήσεις πᾶσαν ὑπόκρισιν καὶ πᾶν ὃ μὴ ἀρεστὸν τῷ κυρίῳ.

οὐ μὴ ἐγκαταλίπῃς ἐντολὰς **κυρίου** φυλάξεις δὲ ἃ παρέλαβες μήτε προστιθεὶς μήτε ἀφαιρῶν.

## 6:2

εἰ μὲν γὰρ δύνασαι βαστάσαι ὅλον τὸν ζυγὸν τοῦ κυρίου τέλειος ἔσῃ· εἰ δ' οὐ δύνασαι ὃ δύνῃ τοῦτο ποίει.

## 8:2

μηδὲ προσεύχεσθε ὡς οἱ ὑποκριταί ἀλλ' ὡς ἐκέλευσεν ὁ κύριος ἐν τῷ εὐαγγελίῳ αὐτοῦ οὕτω προσεύχεσθε· Πάτερ ἡμῶν ὁ ἐν τῷ οὐρανῷ ἁγιασθήτω τὸ ὄνομά σου ἐλθέτω ἡ βασιλεία σου γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον καὶ ἄφες ἡμῖν τὴν ὀφειλὴν ἡμῶν ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· ὅτι σοῦ ἐστιν ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας.

## 9:5

μηδεὶς δὲ φαγέτω μηδὲ πιέτω ἀπὸ τῆς εὐχαριστίας ὑμῶν ἀλλ' οἱ βαπτισθέντες εἰς ὄνομα **κυρίου**· καὶ γὰρ περὶ τούτου εἴρηκεν ὁ κύριος· Μὴ δῶτε τὸ ἅγιον τοῖς κυσί.

## 10:5

μνήσθητι κύριε τῆς ἐκκλησίας σου τοῦ ῥύσασθαι αὐτὴν ἀπὸ παντὸς πονηροῦ καὶ τελειῶσαι αὐτὴν ἐν τῇ ἀγάπῃ σου καὶ σύναξον αὐτὴν ἀπὸ τῶν τεσσάρων ἀνέμων τὴν ἁγιασθεῖσαν εἰς τὴν σὴν βασιλείαν ἣν ἡτοίμασας αὐτῇ· ὅτι σοῦ ἐστιν ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας

**11:2, 4, 8**

ἐὰν δὲ αὐτὸς ὁ διδάσκων στραφεὶς διδάσκῃ ἄλλην διδαχὴν εἰς τὸ καταλῦσαι μὴ αὐτοῦ ἀκούσητε· εἰς δὲ τὸ προσθεῖναι δικαιοσύνην καὶ γνῶσιν **κυρίου** δέξασθε αὐτὸν ὡς **κύριον**.

πᾶς δὲ ἀπόστολος ἐρχόμενος πρὸς ὑμᾶς δεχθήτω ὡς **κύριος**·

οὐ πᾶς δὲ ὁ λαλῶν ἐν πνεύματι προφήτης ἐστίν ἀλλ᾽ ἐὰν ἔχῃ τοὺς τρόπους **κυρίου**. ἀπὸ οὖν τῶν τρόπων γνωσθήσεται ὁ ψευδοπροφήτης καὶ ὁ προφήτης.

**12:1**

Πᾶς δὲ ὁ ἐρχόμενος ἐν ὀνόματι **κυρίου** δεχθήτω· ἔπειτα δὲ δοκιμάσαντες αὐτὸν γνώσεσθε σύνεσιν γὰρ ἕξετε δεξιὰν καὶ ἀριστεράν.

**14:1, 3**

Κατὰ κυριακὴν δὲ **κυρίου** συναχθέντες κλάσατε ἄρτον καὶ εὐχαριστήσατε προεξομολογησάμενοι τὰ παραπτώματα ὑμῶν ὅπως καθαρὰ ἡ θυσία ὑμῶν ᾖ.

αὕτη γάρ ἐστιν ἡ ῥηθεῖσα ὑπὸ **κυρίου**· Ἐν παντὶ τόπῳ καὶ χρόνῳ προσφέρειν μοι θυσίαν καθαράν. ὅτι βασιλεὺς μέγας εἰμί λέγει **κύριος** καὶ τὸ ὄνομά μου θαυμαστὸν ἐν τοῖς ἔθνεσι.

**15:1, 4**

Χειροτονήσατε οὖν ἑαυτοῖς ἐπισκόπους καὶ διακόνους ἀξίους τοῦ κυρίου ἄνδρας πραεῖς καὶ ἀφιλαργύρους καὶ ἀληθεῖς καὶ δεδοκιμασμένους· ὑμῖν γὰρ λειτουργοῦσι καὶ αὐτοὶ τὴν λειτουργίαν τῶν προφητῶν καὶ διδασκάλων.

τὰς δὲ εὐχὰς ὑμῶν καὶ τὰς ἐλεημοσύνας καὶ πάσας τὰς πράξεις οὕτω ποιήσατε ὡς ἔχετε ἐν τῷ εὐαγγελίῳ τοῦ κυρίου ἡμῶν.

**16:1, 7, 8**

Γρηγορεῖτε ὑπὲρ τῆς ζωῆς ὑμῶν· οἱ λύχνοι ὑμῶν μὴ σβεσθήτωσαν καὶ αἱ ὀσφύες ὑμῶν μὴ ἐκλυέσθωσαν ἀλλὰ γίνεσθε ἕτοιμοι· οὐ γὰρ οἴδατε τὴν ὥραν ἐν ᾗ ὁ κύριος ἡμῶν ἔρχεται.

οὐ πάντων δέ ἀλλ᾽ ὡς ἐρρέθη· Ἥξει ὁ κύριος καὶ πάντες οἱ ἅγιοι μετ᾽ αὐτοῦ.

τότε ὄψεται ὁ κόσμος τὸν κύριον ἐρχόμενον ἐπάνω τῶν νεφελῶν τοῦ οὐρανοῦ.